καταλαμβάνειν ὠχρότητα καὶ πλάνον αὐτὴν καὶ ἴλιγγον.᾿ λεχθέντων οὖν ὑπὸ τοῦ Δαφναίου τῶν μελῶν ἐκείνων ῾ὡς . . . . .᾿ (Sapph. fr. 2,7 ss. I p. 329 D.), ὑπολαβὼν ὁ πατὴρ ῾ταῦτ᾿᾿ εἶπεν, ῾ὦ πρὸς τοῦ Διός, ⟨οὐ⟩ θεοληψία καταφανής; οὗτος οὐ δαιμόνιος σάλος τῆς ψυχῆς; τί τοσοῦτον ἡ Πυθία πέπονθεν ἁψαμένη τοῦ τρίποδος; τίνα τῶν ἐνθεαζομένων οὕτως ὁ αὐλὸς καὶ τὰ μητρῷα καὶ τὸ τύμπανον ἐξίστησιν; Καὶ μὴν τὸ αὐτὸ σῶμα πολλοὶ καὶ B
τὸ αὐτὸ κάλλος ὁρῶσιν, εἴληπται δ᾿ εἷς ὁ ἐρωτικός· διὰ τίν᾿ αἰτίαν; οὐ γὰρ μανθάνομέν γέ που τοῦ Μενάνδρου (fr. 541,7) λέγοντος οὐδὲ συνίεμεν,

῾καιρός ἐστιν ἡ νόσος
ψυχῆς, ὁ πληγεὶς δ᾿ ε⟨ἴσεθ᾿ ἧ⟩ τιτρώσκεται·᾿

ἀλλ᾿ ὁ θεὸς αἴτιος τοῦ μὲν καθαψάμενος τὸν δ᾿ ἐάσας.᾿

῾῞Ο τοίνυν ἐν ἀρχῇ καιρὸν εἶχε ῥηθῆναι μᾶλλον, οὐδὲ νῦν ῾ὅτι νῦν ἦλθεν ἐπὶ στόμα᾿ κατ᾿ Αἰσχύλον (fr. 351), ἄρρητον ἐάσειν μοι δοκῶ· καὶ γάρ ἐστι παμμέγεθες. ἴσως μὲν γάρ, ὦ ἑταῖρε, καὶ τῶν ἄλλων ἁπάντων, ὅσα μὴ δι᾿ αἰσθήσεως ἡμῖν εἰς ἔννοιαν ἥκει, τὰ μὲν μύθῳ τὰ δὲ νόμῳ τὰ δὲ λόγῳ πίστιν ἐξ ἀρχῆς ἔσχηκε· τῆς δ᾿ οὖν περὶ θεῶν C
δόξης καὶ παντάπασιν ἡγεμόνες καὶ διδάσκαλοι γεγόνασιν ἡμῖν οἵ τε ποιηταὶ καὶ οἱ νομοθέται καὶ τρίτον οἱ φιλόσοφοι,